SINAXE

Suplemento Litúrgico para os Domingos e Grandes Festas

QUARTA-FEIRA, 25 DE NOVEMBRO DE 2026:



«SANTA GRANDE MÁRTIR CATARINA DE ALEXANDRIA»

Menaion — 25 de novembro: Apódose da Festa da Entrada da Santíssima Theotokos no Templo e Memória de Santa Grande Mártir Catarina de Alexandria
Eothinon: Matinas) Mateus 25: 1–13
Apóstolos: (Epístola): Gálatas 3: 23-4: 5
Evangelho: Marcos 5: 24-34
Modo: Próprio.



Orthros[1]

(Ofício de Matinas)

O Sacerdote:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.	Bendito seja o nosso Deus, em todo tempo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Ἀμήν.	*Amém.*

O Sacerdote:

Δόξα Σοι ο Θεός ημών, δόξα Σοι.	Glória a Ti, ó nosso Deus, glória a Ti!
Βασιλεύ ουράνιε, Παράκλητε, το Πνεύμα της αληθείας, ο πανταχού παρών και τα πάντα πληρών, ο θησαυρός των αγαθών και ζωής χορηγός, ελθέ και σκήνωσον εν ημίν, και καθάρισον ημάς από πάσης κηλίδος και σώσον, Αγαθέ, τας ψυχάς ημών.	Rei celestial, Consolador, Espírito da Verdade, que estás em toda parte e que tudo preenches; tesouro de bens e Doador da vida, vem e habita em nós, purifica-nos de toda a mancha, e salva, ó Bondoso, as nossas almas!

Orações do Triságion

Todos:

Ἅγιος ο Θεός, Ἅγιος Ισχυρός, Ἅγιος Αθάνατος, ελέησον ημάς. (γ΄)	*Santo Deus, Santo Forte, Santo Imortal, tem piedade de nós. (3)*
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι, και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.	*Glória ao Pai e ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.*
Παναγία Τριάς, ελέησον ημάς. Κύριε, ιλάσθητι ταις αμαρτίαις ημών. Δέσποτα, συγχώρησον τας ανομίας ημίν. Ἅγιε, επίσκεψαι και ίασαι τας ασθενείας ημών,	*Santíssima Trindade, tem piedade de nós; Senhor, concede-nos a remissão de nossos pecados; ó Soberano, perdoa as nossas ofensas; Santo, volta teu olhar para nós e cura*

[1] *O Orthros (Matinas) dominical compõe-se de partes fixas e variáveis. As primeiras são lidas ou cantadas regularmente aos domingos, salvo as exceções previstas para determinadas festas litúrgicas. As partes variáveis, por sua vez, são determinadas pelo modo litúrgico do dia e pelas comemorações previstas no calendário da Igreja. Para sua correta observância, é importante consultar o Kanonion, publicado anualmente pelo Patriarcado Ecumênico.*

ένεκεν του ονόματος σου.

Κύριε ελέησον. (γ΄)

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι, και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Πάτερ ημών ο εν τοις ουρανοίς, αγιασθήτω το όνομα σου, ελθέτω η βασιλεία σου, γενηθήτω το θέλημα σου, ως εν ουρανώ, και επί της γης. Τον άρτον ημών τον επιούσιον δός ημίν σήμερον, και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.

as nossas doenças pelo teu santo nome.

Kyrie eléison! (3)

Glória ao Pai e ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.

Pai nosso, que estás nos céus, santificado seja o teu nome. Venha (a nós) o teu reino; seja feita a tua vontade, assim na terra como no céu. O pão nosso de cada dia dá-nos hoje, e perdoa as nossas dívidas assim como nós perdoamos aos nossos devedores. E não nos deixes cair em tentação, mas livra-nos do mal.

O Sacerdote:

Ότι σου εστιν η βασιλεία και η δύναμις και η δόξα, του Πατρός, και του Υιού, και του Αγίου Πνεύματος, νυν και αεί, και εις τους αιώνας των αιώνων. (Αμήν.)

Porque teu é o reino, o poder e a glória, do Pai e do Filho e do Espírito Santo, agora e sempre e pelos séculos dos séculos. (Amém.)

O Coro:

Αμήν.

Amém.

Tropário

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Salva, Senhor, o teu povo e abençoa a tua herança. Concede à tua Igreja a vitória sobre o mal (os seus adversários) e guarda o teu povo pela tua Cruz.

Glória ao Pai e ao Filho e ao Espírito Santo.

Ó Cristo, nosso Deus, que voluntariamente te deixaste suspender na Cruz, tem compaixão do povo que traz o teu nome. Alegra, pelo teu poder a tua santa Igreja, e concede-lhe a vitória sobre os seus adversários. Que a tua aliança seja para nós uma arma de paz e um troféu de vitória!

Agora e sempre e pelos séculos dos séculos. Amém.

Theotókion

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, Ἁγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον Ὀρθοδόξων πολιτείαν, σῶζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ó poderosa e irrefutável intercessora, gloriosa Mãe de Deus, não despreze, ó bondosa, as nossas súplicas; consolida os cristãos ortodoxos desta santa igreja; salva os que chamaste para nos governar, concede-lhes a vitória celeste, ó única verdadeiramente bendita, que deste à luz o próprio Deus.

Litania Insistente

O sacerdote incensa cada um dos lados do altar cantando:

O Sacerdote:

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Tem piedade de nós, ó Deus, segundo a tua grande misericórdia; nós te suplicamos: escuta-nos e tem piedade.

O Coro:

Κύριε, ἐλέησον. (ἐκ γ΄)

Kyrie, eléison. (3)

E, assim, a cada súplica.

O Sacerdote:

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Oremos pelos cristãos piedosos e ortodoxos.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν. (τοῦ δεῖνος)

Oremos pelo nosso (Arce)bispo N..

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois tu és um Deus misericordioso e filantropo, e nós te damos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Leitor (ou Psaltis):

Ἀμήν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Amém. Em nome do Senhor, abençoa, Padre!

Doxologia Trinitária Inicial

Fazendo o sinal da cruz com o turíbulo sobre o evangelho, diz:

O Sacerdote:

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι,

Glória à santíssima, consubstancial, vivificante e indivisível Trindade, em

πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

todo tempo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Αμήν.

Amém.

Hexasalmos (Os seis Salmos)

Os leitores recitam os Salmos 3, 37, 62 (63), 87 (88), 102 (103) e 142 (143); enquanto isso, o sacerdote incensa o trono, o altar e, saindo pela porta norte, o iconostásio e o povo.

O Leitor (ou Psaltis):

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (ἐκ γ΄)

Glória a Deus no mais alto dos céus, paz sobre a terra e benevolência aos homens! (3)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

Abre, Senhor, os meus lábios e a minha boca proclamará o teu louvor. (2)

Salmo 3

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Senhor, quão numerosos são meus opressores, numerosos os que se levantam contra mim, numerosos os que dizem a meu respeito: «Onde está sua salvação em Deus?» Mas tu, Senhor, és o escudo que me protege, minha glória e o que me ergue a cabeça. Em alta voz eu grito ao Senhor, e ele me responde do seu monte sagrado. Eu me deito e logo adormeço. Desperto, pois é o Senhor quem me sustenta. Não temo o povo em multidão que em cerco se instala contra mim. Levanta-te, Senhor! Salva-me, Deus meu! Pois golpeias no queixo meus inimigos todos, e quebras os dentes dos ímpios. A salvação vem do Senhor! E sobre o teu povo, a tua bênção!

E repete:

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Eu me deito e logo adormeço. Desperto, pois é o Senhor quem me sustenta.

Salmo 37 (38)

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου,

Senhor, não me castigues em tua cólera, não me corrijas em teu furor. Tuas flechas penetraram em mim, sobre mim abateu-se tua mão: nada está ileso em minha carne, em tua ira, nada de são em meus ossos, após meu pecado. Minhas iniquidades ultrapassam-me a cabeça, como fardo pesado elas pesam sobre

ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλορρήμονησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διὰ παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

mim; minhas chagas estão podres e supuram, por causa da minha loucura. Estou curvado, inteiramente prostrado, ando o dia todo entristecido. Meus rins ardem de febre, nada está ileso em minha carne; estou enfraquecido, completamente esmagado, meu coração rosna, eu solto rugidos. Senhor, à tua frente está o meu desejo todo, meu gemido não se esconde de Ti; meu coração palpita, minha força me abandona, a luz dos meus olhos já não habita comigo. Amigos e companheiros se afastam da minha praga, e meus vizinhos se mantêm à distância; preparam armadilhas os que buscam tirar-me a vida, os que procuram minha ruína falam de crimes, todo dia meditando em traições. E eu, como um surdo, não escuto, como um mudo que não abre a boca. Sou como homem que não ouve e não tem uma réplica na boca. É por Ti, Senhor, que eu espero! És tu quem responderá, Senhor meu Deus! Eu disse: «Que não se alegrem à minha custa, não triunfem sobre mim quando eu tropeço!» Sim, estou a ponto de cair, meu tormento está sempre à minha frente. Sim, eu confesso a minha iniquidade, e temo pelo meu pecado. Meus inimigos sem motivo são poderosos, são muitos os que me odeiam sem motivo, os que pagam o mal pelo bem, e por eu procurar o bem me acusam. Não me abandones, Senhor, meu Deus, não fiques longe de mim! Vem socorrer-me depressa, ó Senhor, minha salvação!

E repete:

Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ· πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Não me abandones, Senhor, meu Deus, não fiques longe de mim! Vem socorrer-me depressa, ó Senhor, minha salvação!

Salmo 62 (63)

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή

Oh Deus, tu és o meu Deus, eu te procuro. Minha alma tem sede de Ti, minha carne te deseja com ardor, como terra seca, esgotada, sem água. Sim, eu te contemplava no santuário, vendo teu poder e tua glória. Valendo teu amor mais que a vida, meus lábios te glorificarão. Assim, vou te bendizer em toda a minha vida, e em teu nome levantar as minhas mãos; eu me saciarei como de óleo e gordura, e

μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

com alegria nos lábios minha boca te louvará. Quando te recordo no meu leito, passo vigílias meditando em Ti; pois fostes um socorro para mim, e, à sombra de tuas asas, eu grito de alegria; minha vida está ligada a Ti, e tua direita me sustenta. Quanto aos que me querem destruir, irão para as profundezas da terra; serão entregues à espada e vão tornar-se pasto dos chacais. Mas o rei vai alegrar-se em Deus; quem por ele jura se felicitará; pois, a boca dos mentirosos será fechada.

E repete:

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Quando te recordo no meu leito, passo vigílias meditando em ti; pois fostes um socorro para mim, e, à sombra de tuas asas, eu grito de alegria.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glória ao Pai e ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (3)

Aleluia. Aleluia. Aleluia. Glória a Ti, ó Deus. (3)

Κύριε, ἐλέησον. (3)

Kyrie, eléison. (3)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glória ao Pai e ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.

Salmo 87 (88)

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος, ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς, παρεδόθην καὶ οὐκ ἐξεπορευόμην. Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι

Senhor, meu Deus salvador, de noite eu grito a Ti: que minha prece chegue à tua presença, inclina teu ouvido ao meu clamor. Pois minha alma está cheia de males e minha vida está à beira do Xeol; sou visto como os que baixam à cova, torneime um homem sem forças: despedido entre os mortos, como as vítimas que jazem no sepulcro, das quais já não te lembras, porque foram separadas de tua mão. Puseste-me no fundo da cova, em meio a trevas nos abismos; tua cólera pesa sobre mim, tu derramas tuas vagas todas. Afastaste de mim meus conhecidos, tornaste-me repugnante a eles: estou fechado e não posso sair, com a miséria meu olho desgastou-se. Senhor, eu te invoco todo o dia, estendendo as mãos para Ti: «Realiza maravilhas pelos mortos? As sombras se levantam para te louvar? Falam do teu amor nas sepulturas, da tua fidelidade no lugar da perdição?

καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με, ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Conhecem tuas maravilhas na treva, e tua justiça na terra do esquecimento?» Quanto a mim, Senhor, eu grito a Ti, minha prece chega a Ti pela manhã; por que me rejeitas, Senhor, e escondes tua face longe de mim? Sou infeliz e moribundo desde a infância, sofri teus horrores, estou esgotado; passaram sobre mim teus furores, teus terrores me deixaram aniquilado. Eles me cercam como água todo o dia, envolvem-me todos juntos de uma vez. Tu afastas de mim meus próximos e amigos, a treva é a minha companhia.

E repete:

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Senhor, meu Deus salvador, de noite eu grito a Ti: que minha prece chegue à tua presença, inclina teu ouvido ao meu clamor.

Salmo 102 (103)

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν, ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ

Bendize ao Senhor, ó minha alma, e tudo o que há em mim ao seu nome santo! Bendize ao Senhor, ó minha alma, e não esqueças nenhum dos seus benefícios. É ele quem perdoa tua culpa toda e cura todos os teus males. É ele quem redime a tua vida da cova e te coroa de amor e compaixão. É ele quem sacia teus anos de bens e, como a da águia, tua juventude se renova. O Senhor realiza atos justos, fazendo justiça a todos os oprimidos; revelou seus caminhos a Moisés e suas façanhas aos filhos de Israel. O Senhor é compaixão e piedade, lento para a cólera e cheio de amor; ele não vai disputar perpetuamente, e seu rancor não dura para sempre. Nunca nos trata conforme os nossos erros, nem nos devolve segundo as nossas culpas. Como o céu que se alteia sobre a terra, é forte o seu amor por aqueles que o temem. Como o oriente está longe do ocidente, ele afasta de nós as nossas transgressões. Como um pai é compassivo com seus filhos, o Senhor é compassivo com aqueles que o temem; porque ele conhece nossa estrutura, ele se lembra do pó que somos nós. O homem!... seus dias são como a relva: ele floresce como a flor do campo; roça-lhe um vento e já desaparece, e ninguém mais reconhece o seu lugar. Mas o amor do Senhor!... existe desde sempre e para sempre existirá por aqueles que o

αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

temem; sua justiça é para os filhos dos filhos, para os que observam a sua aliança e se lembram de cumprir suas ordens. O Senhor firmou no céu o seu trono e sua realeza governa o universo. Bendizei ao Senhor, anjos seus, executores poderosos da sua palavra, obedientes ao som da sua palavra. Bendizei ao Senhor, seus exércitos todos, ministros que cumpris a sua vontade. Bendizei ao Senhor, todas as suas obras, nos lugares todos que ele governa. Bendize ao Senhor, ó minha alma!

E repete:

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Nos lugares todos que ele governa, bendize ao Senhor, ó minha alma!

Salmo 142 (143)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με· ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Senhor, ouve a minha prece, dá ouvido às minhas súplicas, por tua fidelidade, responde-me, por tua justiça! Não entres em julgamento com teu servo, pois frente a Ti nenhum vivente é justo! O inimigo me persegue, esmaga minha vida por terra, faz-me habitar nas trevas como os que estão mortos para sempre. Meu alento já vai desfalecendo, e dentro de mim meu coração se assusta. Recordo os dias de outrora, em todo o teu agir eu medito, refletindo sobre a obra de tuas mãos. A Ti estendo meus braços, minha vida é terra sedenta de Ti. Responde-me depressa, Senhor, pois meu alento se extingue! Não escondas tua face de mim: eu ficaria como os que baixam à cova. Faze-me ouvir teu amor pela manhã, pois é em Ti que eu confio; indica-me o caminho a seguir, pois eu me elevo a Ti. Livra-me dos meus inimigos, Senhor, pois estou protegido junto a Ti. Ensina-me a cumprir tua vontade, pois tu és o meu Deus; que o teu bom espírito me conduza por uma terra aplanada. Por teu nome, Senhor, tu me conservas, por tua justiça me tiras da angústia, por teu amor aniquilas meus inimigos e destróis meus adversários todos, porque eu sou um servo teu!

E repete:

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)	Por tua fidelidade, responde-me, por tua justiça! Não entres em julgamento com teu servo. (2)
Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.	Que o teu bom espírito me conduza por uma terra aplanada.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.	Glória ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos. Amém.
Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (δίς)	Aleluia. Aleluia. Aleluia. Glória a Ti, ó Deus! (2)

E, entoando:

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.	Aleluia. Aleluia. Aleluia. Glória a Ti, ó Deus, Esperança nossa, Senhor, glória a Ti!

Orações Matinais

Durante a leitura do Hexapsalmos, o Sacerdote, de cabeça descoberta, permanece de pé diante da Santa Mesa, com a cabeça ligeiramente inclinada, e recita em silêncio as Orações Matutinas, conforme se seguem.

Primeira Oração

Εὐχαριστοῦμεν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν· καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου καὶ ἀπεκδεχομένους τὸ παρὰ σου πλούσιον ἔλεος· καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτε σοὶ λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα.	Nós Te damos graças, Senhor nosso Deus, Tu que nos fizeste levantar de nossos leitos e puseste em nossa boca palavras de louvor, para adorarmos e invocarmos o teu santo Nome. Suplicamos também as tuas misericórdias, que sempre manifestaste em nossa vida. E agora envia o teu auxílio sobre aqueles que permanecem diante da tua santa Glória e esperam de Ti a abundante misericórdia; e concede-lhes que, com temor e amor, sempre Te sirvam, Te louvem, Te glorifiquem e adorem a tua inefável bondade.
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.	Pois a Ti pertence toda glória, honra e adoração, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Segunda Oração

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν	Desde a noite, nosso espírito madruga em busca de Ti, ó nosso Deus, pois teus mandamentos são luz sobre a terra. Ensina-nos a praticar a justiça e

τῷ φόβῳ σου συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν. Κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ' ὄνομα καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.

a santidade no teu temor, pois glorificamos a Ti, que és verdadeiramente nosso Deus. Inclina o teu ouvido e escuta-nos; e lembra-Te, Senhor, de todos os que estão aqui presentes e oram conosco, de cada um por seu nome, e salva-os pelo teu poder. Abençoa o teu povo e santifica a tua herança; concede paz ao teu mundo, às tuas Igrejas, aos sacerdotes, aos nossos governantes e a todo o teu povo.

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Porque bendito e glorificado é o teu venerabilíssimo e majestoso Nome, do Pai e do Filho e do Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Terceira Oração

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου· δίδαξον ἡμᾶς, ὁ Θεός, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοι τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς.

Desde a noite, nosso espírito madruga em busca de Ti, ó Deus, pois teus mandamentos são luz. Ensina-nos, ó Deus, a tua justiça, os teus mandamentos e os teus preceitos. Ilumina os olhos de nosso entendimento, para que não adormeçamos nos pecados para a morte. Afasta de nossos corações toda treva; concede-nos o Sol da Justiça e preserva incólume a nossa vida sob o selo do teu Santo Espírito. Dirige nossos passos pelo caminho da paz. Concede-nos o amanhecer e o dia em júbilo, para que Te elevemos nossas preces matutinas.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois teu é o domínio, e teu é o Reino, o poder e a glória, do Pai e do Filho e do Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Quarta Oração

Δέσποτα ὁ Θεός, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε,

Soberano Deus, Santo e Incompreensível, Tu que ordenaste que das trevas resplandecesse a luz, que nos concedeste repouso no sono da noite e nos despertaste para glorificar-Te e suplicar a tua bondade, movido por tua própria compaixão: acolhe-nos também agora, a nós que Te adoramos e, segundo as nossas forças, Te damos graças; e concede-nos tudo quanto pedimos para a salvação. Torna-nos filhos da luz e do dia e herdeiros dos teus bens eternos. Lembra-Te,

ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος.

Senhor, na abundância das tuas misericórdias, de todo o teu povo, dos que estão aqui presentes e oram conosco, e de todos os nossos irmãos, dos que estão em terra, dos que estão no mar e dos que, em todo lugar do teu domínio, necessitam da tua filantropia e do teu auxílio; e concede a todos a tua grande misericórdia.

Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Para que, permanecendo sempre salvos na alma e no corpo, glorifiquemos com confiança o teu admirável e bendito Nome, do Pai e do Filho e do Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Quinta Oração

Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυμαστοποιέ, παντοδύναμε καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἐωθινὰς δεήσεις ὡς θυμίαμα ἐνώπιόν σου καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ τοῦ ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον.

Tesouro de bens, Fonte perene, Pai santo, Autor de maravilhas, Todo-Poderoso e Soberano de todas as coisas, todos nós Te adoramos e Te suplicamos, invocando tuas misericórdias e tua compaixão em auxílio e amparo de nossa humildade. Lembra-Te, Senhor, dos que Te suplicam; acolhe as preces matutinas de todos nós como incenso diante de Ti, e não permitas que nenhum de nós seja achado indigno, mas guarda-nos a todos por tuas misericórdias. Lembra-Te, Senhor, dos que vigiam e salmodiam para a tua glória, e para a glória de teu Filho Unigênito e nosso Deus, e de teu Santo Espírito. Sê seu auxílio e amparo; acolhe suas súplicas em teu Altar supraceleste e espiritual.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois Tu és o nosso Deus, e a Ti elevamos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Sexta Oração

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε· δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα

Nós Te damos graças, Senhor Deus de nossa salvação, porque tudo realizas para o benefício de nossa vida, a fim de que mantenhamos sempre os olhos voltados para Ti, Salvador e Benfeitor de nossas almas. Pois nos concedeste repouso durante o tempo da noite que passou, nos despertaste de nossos leitos e nos fizeste permanecer de pé para a adoração do teu venerável Nome. Por isso, suplicamos-Te,

καταξιωθῶμεν ψάλλειν σοι συνετῶς καὶ προσεύχεσθαι ἀδιαλείπτως, ἐν φόβῳ καὶ τρόμῳ τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς.

Senhor: concede-nos graça e força, para que sejamos dignos de salmodiar a Ti com entendimento e de orar sem cessar, operando, com temor e tremor, a nossa própria salvação, mediante o auxílio de teu Cristo. Lembra-Te, Senhor, também daqueles que durante a noite clamam a Ti; escuta-os, tem misericórdia deles e esmaga sob seus pés os inimigos invisíveis e hostis.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois Tu és o Rei da paz e o Salvador de nossas almas, e a Ti elevamos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Sétima Oração

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ᾽ ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διό, δεόμεθά σου· Εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἑκουσίως ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός.

Deus e Pai de nosso Senhor Jesus Cristo, Tu que nos levantaste de nossos leitos e nos reuniste nesta hora de oração, concede-nos graça ao abrirmos a nossa boca e acolhe as ações de graças que, segundo as nossas forças, Te oferecemos. Ensina-nos os teus preceitos, pois não sabemos orar como convém, se Tu, Senhor, não nos guiares por teu Santo Espírito. Por isso, suplicamos-Te: se em algo pecamos até a presente hora, por palavra, por obra ou por pensamento, voluntária ou involuntariamente, releva, perdoa e absolve. Pois, se observares as iniquidades, Senhor, Senhor, quem poderá subsistir? Porque junto de Ti está a redenção. Somente Tu és Santo, auxílio e poderoso defensor de nossa vida, e em Ti está continuamente o nosso louvor.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Seja bendito e glorificado o domínio do teu Reino, do Pai e do Filho e do Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Oitava Oração

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥᾳθυμίαν ἀποσκεδάσας ἀφ᾽ ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγία τοῦ καὶ ἐν νυκτὶ ἐπάραι τὰς χεῖρας ἡμῶν καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεός,

Senhor nosso Deus, Tu que afastaste de nós a indolência do sono e nos convocaste com santo chamado para, também durante a noite, elevarmos nossas mãos e Te darmos graças pelos juízos da tua justiça: acolhe nossas súplicas, intercessões, ações de graças e cultos noturnos; e concede-nos, ó Deus, fé firme, esperança segura e

πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον· εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα.

amor sem hipocrisia. Abençoa nossas entradas e saídas, nossas ações, obras, palavras e pensamentos; e concede-nos chegar ao início do dia louvando, entoando hinos e bendizendo a bondade da tua inefável benevolência.

Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois bendito é o teu santíssimo Nome e glorificado o teu Reino, do Pai e do Filho e do Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Nona Oração

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες.

Faze resplandecer, ó Soberano Filantropo, em nossos corações a luz incorruptível do conhecimento de Ti, e abre os olhos de nosso entendimento para a compreensão dos ensinamentos do teu Evangelho. Infunde em nós também o temor de teus bem-aventurados mandamentos, para que, tendo calcado aos pés todos os desejos carnais, vivamos uma vida espiritual, pensando e praticando tudo o que é do teu agrado.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois Tu és a nossa santificação, e a Ti elevamos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Décima Oração

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως τὴν τοῦ προφήτου Δαυῒδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας· αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ᾽ εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν

Senhor nosso Deus, Tu que concedeste aos homens, por meio do arrependimento, a remissão, e nos apresentaste o arrependimento do Profeta Davi como modelo de reconhecimento dos pecados e de confissão para o perdão: Tu mesmo, ó Soberano, tem misericórdia de nós, que caímos em muitas e graves faltas, segundo a tua grande misericórdia, e, segundo a abundância das tuas compaixões, apaga as nossas iniquidades. Pois pecamos contra Ti, Senhor, que conheces também as coisas desconhecidas e ocultas do coração dos homens e que, somente Tu, tens autoridade para perdoar os pecados. Cria em nós um coração puro, sustenta-nos com espírito soberano e faze-nos conhecer a alegria da tua salvação; não nos rejeites da tua presença, mas digna-Te, como Bondoso e Filantropo, permitir-

δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.

nos, até o nosso último alento, oferecer-Te sacrifício de justiça e oblação em teus santos Altares.

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pela misericórdia, pelas compaixões e pela filantropia de teu Filho Unigênito, com quem és bendito, juntamente com o teu Santíssimo, Bom e Vivificante Espírito, agora e sempre, e pelos séculos dos séculos. Amém.

Décima-Primeira Oração

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν· Πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος.

Ó Deus, nosso Deus, Tu que, por tua vontade, constituíste as potências espirituais e racionais, nós Te suplicamos e Te imploramos: acolhe, juntamente com todas as tuas criaturas, a glorificação que, segundo as nossas forças, Te oferecemos, e recompensa-nos com os abundantes dons da tua bondade. Pois diante de Ti se dobra todo joelho dos que estão nos céus, na terra e debaixo da terra, e todo ser que respira e toda a criação entoam hinos à tua incompreensível glória; pois somente Tu és Deus verdadeiro e rico em misericórdia.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois todas as Potências dos céus Te louvam e a Ti elevam glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Décima-Segunda Oração

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν καὶ εὐχαριστοῦμεν σοι, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· Ἵλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον, ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός.

Nós Te louvamos, Te glorificamos, Te bendizemos e Te damos graças, ó Deus de nossos Pais, porque fizeste passar a sombra da noite e novamente nos mostraste a luz do dia. Mas suplicamos à tua bondade: perdoa nossos pecados e acolhe nossa súplica em tua grande compaixão, pois a Ti recorremos, Deus misericordioso e Todo-Poderoso. Faze resplandecer em nossos corações o verdadeiro Sol da tua justiça; ilumina nossa mente e guarda todos os nossos sentidos, para que, caminhando dignamente, como em pleno dia, pelo caminho de teus mandamentos, alcancemos a vida eterna, pois junto de Ti está a fonte da vida, e sejamos dignos de desfrutar da luz inacessível.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois Tu és o nosso Deus, e a Ti elevamos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos. Amém.

Grande Litania da Paz

O Diácono (ou o Sacerdote):

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Em paz, oremos ao Senhor!

O Coro:

Κύριε ελέησον.

Kyrie eléison!

E, assim, a cada súplica.

O Diácono (ou o Sacerdote):

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Pela paz que é dom do alto e pela salvação de nossas almas, oremos ao Senhor.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Pela paz do mundo inteiro, pela estabilidade das santas igrejas de Deus e pela união de todos, oremos ao Senhor.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Por este santo templo e por todos os que a ele vem com fé, devoção e temor a Deus, oremos ao Senhor.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Pelo nosso (Arce)bispo, N., pela venerável ordem dos presbíteros e diáconos em Cristo, e por todo o clero e o povo, oremos ao Senhor.

Ὑπὲρ τοῦ ἔθνους ἡμῶν, καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Pelo bem de nossa piedosa nação, por todas as autoridades constituídas em dignidade para governá-la, oremos ao Senhor.

Ὑπὲρ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, τῆς Ἱερᾶς ταύτης Μητροπόλεως, τῆς κοινότητος καὶ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Pela Grande Igreja de Cristo, por nossa sacra Metrópole, esta Paróquia de N., a cidade de N., e por todas as cidades e países, pelos fiéis que aí vivem, oremos ao Senhor.

Ὑπέρ ευκρασίας αέρων, ευφορίας των καρπών της γης και καιρών ειρηνικών, του Κυρίου δεηθώμεν.

Por um clima favorável, a abundância dos frutos da terra e por tempos de paz, oremos ao Senhor.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Pela segurança dos que viajam por terra, ar e mar, pelos doentes, aflitos e prisioneiros, e pela salvação de todos, oremos ao Senhor.

Ὑπέρ του ρυσθήναι ημάς από πάσης θλίψεως, οργής, κινδύνου και ανάγκης, του Κυρίου δεηθώμεν.

Para que sejamos livres de toda aflição, ira, perigo e necessidade, oremos ao Senhor.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ampara-nos, salva-nos, tem piedade de nós e protege-nos, ó Deus, por tua graça.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Tendo comemorado nossa santíssima, pura, bendita e gloriosa Senhora, a Theotokos e sempre virgem Maria, com todos os Santos, recomendemo-nos a nós mesmos e uns aos outros, e toda a nossa vida a Cristo nosso Deus.

O Coro:

Σοί, Κύριε.

A Ti, Senhor!

O Sacerdote:

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Pois a Ti pertence toda glória, honra e adoração, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Ἀμήν.

Amém.

TROPÁRIOS

Theós Kyrios

(Modo 4º)

O Coro:

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Deus, o Senhor, a nós se manifestou. Bendito o que vem em nome do Senhor!

E repete-se após cada versículo abaixo:

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Vers. 1: Dai graças ao Senhor porque ele é bom, porque o seu amor é para sempre.

Vers. 2: As nações todas me cercaram, em nome do Senhor eu as venci.

Vers. 3: Isto vem do Senhor, e é maravilha aos nossos olhos.

(Do Menaion)

Apolitíkion da Festa da Apresentação

(Modo 4º)

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Hoje é o prelúdio da benevolência de Deus e a proclamação preliminar da salvação dos homens. A Virgem apresenta-se com esplendor no Templo de Deus e antecipadamente anuncia Cristo a todos. A ela nós também clamamos em alta voz: «Salve! Ó realização da economia do Criador!»

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι,

Glória ao Pai e ao Filho e ao Espírito Santo.

Apolitíkion de Santa Catarina de Alexandria

(Modo Plagal 1º — «Τὸν συνάναρχον Λόγον».)

Τὴν πανεύφημον νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερῖναν τὴν θείαν καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν, ὅτι ἐφίμωσε λαμπρῶς, τοὺς κομψοὺς τῶν ἀσεβῶν, τοῦ Πνεύματος τῇ μαχαίρᾳ, καὶ νῦν ὡς Μάρτυς στεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

Cantemos à mais ilustre noiva de Cristo, * a divina Catarina, protetora do Sinai, * aquela que por nós é abrigo e socorro; * pois, com efeito, pela espada do Espírito * fez calar brilhantemente os sofismas dos ímpios, *e agora, mártir coroada, *implora por nós a grande misericórdia.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Agora e sempre e pelos séculos dos séculos. Amém

E, repete-se:

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Hoje é o prelúdio da benevolência de Deus e a proclamação preliminar da salvação dos homens. A Virgem apresenta-se com esplendor no Templo de Deus e antecipadamente anuncia Cristo a todos. A ela nós também clamamos em alta voz: «Salve! Ó realização da economia do Criador!»

Pequena Súplica

O Sacerdote:

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Mais e mais, oremos em paz ao Senhor!

O Coro:

Κύριε ἐλέησον.

Kyrie, eléison.

O Sacerdote:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ampara-nos, salva-nos, tem piedade de nós e protege-nos, ó Deus, por tua graça.

O Coro:

Κύριε ἐλέησον

Kyrie, eléison.

O Sacerdote:

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Tendo comemorado nossa santíssima, pura, bendita e gloriosa Senhora, a Theotokos e sempre virgem Maria, com todos os Santos, recomendemo-nos a nós mesmos e uns aos outros, e toda a nossa vida a Cristo nosso Deus.

O Coro:

Σοὶ Κύριε.

A Ti, Senhor!

O Sacerdote:

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Porque teu é o poder, o reino, a força e a glória, do Pai e do Filho e do Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Ἀμήν.

Amém.

(Do Menaion)

KATHISMATA[2] (HINOS DE DESCANSO)

Kathisma I

(Modo 1º — «Τὸν τάφον σου Σωτήρ».)

Μολοῦσα εὐθαρσῶς, πρὸς ἀγῶνας τρισμάκαρ, ἀνδρείως τὸν Χριστόν, ὡμολόγησας Μάρτυς, καὶ τύραννον ἤλεγξας, δυσσεβῆ καὶ παράφρονα, καὶ κατῄσχυνας, ῥητορευόντων τὰ στίφη, καὶ ἀνέδραμες, εἰς οὐρανίους σκηνώσεις· διό σε δοξάζομεν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Apresentaste-te com coragem, ó três vezes bem-aventurada, e, com bravura, confessaste a Cristo, ó Mártir. Repreendeste o tirano ímpio e insensato imperador, e envergonhaste o séquito de seus oradores e subiste às moradas celestes; por isso, te glorificamos.

Glória ao Pai, ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.

Para a Festa

(Mesmo modo)

Δικαίων ὁ καρπός, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, Ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν ηὐλόγησεν, ὁ ἱερὸς Ζαχαρίας. Ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

A nutriz de nossa vida, ainda infante em corpo, fruto dos justos Joaquim e Ana, é hoje oferecida a Deus no Santo Templo, abençoada pelo sacerdote Zacarias. Por isso, com fé, proclamemos que ela é bem-aventurada, pois é a Mãe do Senhor.

Kathisma II

(Modo 4º — «Κατεπλάγη Ἰωσήφ».)

Ἡ παρθένος καὶ σεμνή, Αἰκατερῖνα ἡ σοφή, τῇ δυνάμει τοῦ Χριστοῦ, ἐπιῤῥωσθεῖσα ἀληθῶς, ἀγαλλομένη εἰσέρχεται ἐν σταδίῳ, καὶ τύραννον ὠμόν, καταβαλοῦσα στερῥῶς, καὶ πᾶσαν τὴν πληθύν, τῶν δυσσεβούντων ἐχθρῶν, μετ᾽ εὐφροσύνης ἔψαλλεν, ἀκαταπαύστως μεγάλῃ φωνῇ· Χριστέ μου δόξα, Σωτὴρ καὶ ῥύστα, σὺ οὖν δέξαι τὸ πνεῦμά μου.

Verdadeiramente fortalecida pela força e poder de Cristo, a sapiente virgem mártir, Catarina, entra jubilosa na arena, e, com firmeza, derruba o tirano cruel e todo o exército dos ímpios inimigos. Com alegria, ela cantava incessantemente em alta voz: «Acolhe meu espírito, ó Cristo, minha glória, meu Salvador e meu Libertador!»

[2] *A palavra "καθίσματα" vem do verbo "κάθημαι" (sentar-se), pois é tradicionalmente um momento em que os fiéis e os cantores podem sentar-se brevemente.*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glória ao Pai, e ao Filho, e ao Espírito Santo. Agora e sempre, e pelos séculos dos séculos. Amém.

Para a Festa

(Mesmo modo)

Πρὸ συλλήψεως Ἁγνή, καθηγιάσθης τῷ Θεῷ, καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. Τῷ θείῳ δὲ Ναῷ, ὡς θεῖος ὄντως ναός, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου Φωτός. Μεγάλη ὄντως, ἡ πρόοδος σου, μόνη Θεόνυμφε καὶ ἀειπάρθενε.

Antes da tua concepção, ó Pura, foste consagrada a Deus e, ao nasceres, foste oferecida a Ele como um presente, cumprindo a promessa de teus pais. Ao Templo divino foste levada, como verdadeiro templo de Deus, pura desde a infância, com lâmpadas resplandecentes. Ali, apareceste como receptáculo da Luz divina e inacessível. Verdadeiramente grande é a tua Entrada, ó única Noiva de Deus e sempre Virgem!

Kathisma III

(Modo Plagal 4º — *«Τὸ προσταχθέν»*.)

Ἀλεξανδρέων ἡ λαμπρὰ καὶ θεία πόλις, ἐπὶ τῇ μνήμῃ σου σεμνὴ πανηγυρίζει, καὶ γεραίρει τοὺς ἄθλους σου Αἰκατερῖνα οὓς ἔτλης γενναιοφρόνως ὑπὲρ Χριστοῦ· καὶ μέγα βρενθυομένη σοι ἐκβοᾷ· Ὦ Παρθένε πολύαθλε, εἰς οὐρανίους σκηνάς, συνοῦσα νῦν τῷ Κτίστῃ σου, χαῖρε Μάρτυς πανθαύμαστε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A famosa e piedosa cidade de Alexandria, celebra solenemente a tua memória e honra teus feitos, ó Catarina, que corajosamente suportaste por amor a Cristo. Com grande exultação, ela clama a ti: «Ó Virgem de muitos combates, que agora estás unida ao teu Criador nas moradas celestes, salve, ó Mártir digna de toda admiração!»

Glória ao Pai, e ao Filho, e ao Espírito Santo. Agora e sempre, e pelos séculos dos séculos. Amém.

Para a Festa

(Mesmo modo)

Ἀγαλλιάσθω ὁ Δαυῒδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε· Μαρία ἡ φωτοφόρος θεία λαμπάς, καὶ χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ, ἣν καὶ βλέπων ηὐλόγησεν, ὁ Βαραχίου υἱός, καὶ χαίρων ἀνεκραύγαζε· Χαῖρε θαῦμα παγκόσμιον.

Exulte Davi, o compositor de hinos sagrados, e dance de alegria Joaquim com Ana, pois de vós nasceu uma descendência santíssima, Maria, a lanterna divina que carrega a luz. E, ao vê-la entrar no Templo, o filho de Baraquias a abençoou, exclamando com alegria: «Salve, ó maravilhoso prodígio, que resplandece para o mundo inteiro!»

Pequena Súplica

O Sacerdote:

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Mais e mais, oremos em paz ao Senhor!

O Coro:

Κύριε ἐλέησον.

Kyrie, eléison.

O Sacerdote:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ampara-nos, salva-nos, tem piedade de nós e protege-nos, ó Deus, por tua graça.

O Coro:

Κύριε ἐλέησον

Kyrie, eléison.

O Sacerdote:

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Tendo comemorado nossa santíssima, pura, bendita e gloriosa Senhora, a Theotokos e sempre virgem Maria, com todos os Santos, recomendemo-nos a nós mesmos e uns aos outros, e toda a nossa vida a Cristo nosso Deus.

O Coro:

Σοὶ Κύριε.

A Ti, Senhor!

O Sacerdote:

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Porque bendito é o Teu nome e glorificado é o Teu reino, do Pai e do Filho e do Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Ἀμήν.

Amém.

ANAVATIMOI

Antífona I

(Modo 4º)

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)	*Desde a minha juventude, muitas paixões pelejam contra mim. Ó meu Salvador, eu te imploro, sustenta-me e salva-me!* (2)
Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)	*Os que odeiam Sião, sejam envergonhados diante do Senhor; pois como a erva, serão queimados pelo fogo.* (2)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.	*Glória ao Pai, e ao Filho, e ao Espírito Santo.*
Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.	*Pelo Espírito Santo, toda alma é vivificada, e pela purificação é misticamente elevada e iluminada pela Trindade.*
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.	*Agora e sempre, e pelos séculos dos séculos. Amém.*
Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.	*From the Holy Spirit the streams of grace well forth; they water all creation, so that life be engendered.*

Prokímenon (Sl 6 7, 15)

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (δίς)	*Deus é maravilhoso em seus santos.* (2)
Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.	*Vers.: O Senhor é glorificado nos seus santos que estão na terra.*
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.	Deus é maravilhoso em seus santos.

Ordem do Evangelho de Matinas

Todos ficam de pé para a leitura do Santo Evangelho.

O Sacerdote:

Τοῦ Κυρίου δεηθῶμεν.	Oremos ao Senhor!

O Coro (ou Leitor):

Κύριε, ἐλέησον.	*Kyrie, eléison!*

O Sacerdote:

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν	Porque tu és Santo e repousas no santuário entre os Santos, ó nosso Deus, e a Ti elevamos glória, ao Pai e

δόξαν ἀναπέμπουμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τωναἰώνων.

ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro (ou Leitor):

Ἀμήν.

Amém.

(Modo 2º)

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς)
Αἰνεσάτω πνοή πᾶσα τὸν Κύριον.

Que todo ser que respira louve o Senhor. (2x) Louve o Senhor todo ser que respira.

O Sacerdote:

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

E, para que nos faça dignos de ouvir o santo Evangelho, oremos ao Senhor, nosso Deus!

O Coro (ou Leitor):

Κύριε, ἐλέησον. (ἐκ γ').

Kyrie, eléison. (3)

O Sacerdote:

Σοφία ὀρθοί·
ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Sabedoria! De pé!
Escutemos o santo Evangelho.

O Sacerdote:

Εἰρήνη πᾶσι.

Paz a todos!

Coro ou Leitor:

Καὶ τῷ πνεύματί σου.

E ao teu espírito.

O Sacerdote:

Ἐκ τοῦ κατὰ **Ματθαῖον** ἁγίου Εὐαγγελίου τό Ἀνάγνωσμα.

Leitura do Evangelho, segundo o Evangelista São MATEUS.

Πρόσχωμεν.

Atentos!

Coro ou Leitor:

Δόξα σοι, Κύριε, δόξα σοι.

Glória a Ti, Senhor, glória a Ti!

Evangelho

(Mt 25: 1–13)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες

Naquele tempo o Senhor disse esta parábola: «[1]O Reino dos Céus será semelhante a dez virgens que,

λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

tomando as suas lâmpadas, saíram ao encontro do noivo. [2]Cinco eram insensatas e cinco, prudentes. [3]As insensatas, ao pegarem as lâmpadas, não levaram azeite consigo, [4]enquanto as prudentes levaram vasos de azeite com suas lâmpadas. [5]Atrasando o noivo, todas elas acabaram cochilando e dormindo. [6]Quando foi aí pela meia-noite, ouviu-se um grito: 'O noivo vem aí! Saí ao seu encontro!' [7]Todas as virgens levantaram-se, então, e trataram de aprontar as lâmpadas. [8]As insensatas disseram às prudentes: 'Dai-nos do vosso azeite, porque as nossas lâmpadas estão se apagando'. [9]As prudentes responderam: 'De modo algum, o azeite poderia não bastar para nós e para vós. Ide antes aos que vendem e comprai para vós'. [10]Enquanto foram comprar o azeite, o noivo chegou e as que estavam prontas entraram com ele para o banquete de núpcias. E fechou-se a porta. "Finalmente, chegaram as outras virgens, dizendo: 'Senhor, senhor, abre-nos!' [12]Mas ele respondeu: 'Em verdade vos digo: não vos conheço!' [13]Vigiai, portanto, porque não sabeis nem o dia nem a hora».

O Coro (ou Leitor):

Δόξα σοι, Κύριε, δόξα σοι.

Glória a Ti, Senhor, glória a Ti!

O Leitor prossegue:

Salmo 50 [51]

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ

Tem piedade de mim, ó Deus, segundo a tua grande misericórdia; segundo a tua grande clemência, apaga minhas transgressões! Lava-me todo inteiro da minha iniquidade e purifica-me do meu pecado! Pois reconheço minhas transgressões, e tenho sempre presente o meu pecado. Pequei contra Ti, contra Ti

παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

somente, e pratiquei o mal diante de teus olhos. Assim serás considerado justo em tua sentença, incontestável em teu julgamento. Eis que nasci culpado: como pecador, minha mãe me concebeu. Tu queres sinceridade interior, e no íntimo me ensinas sabedoria. Purifica-me com o hissope! e ficarei limpo. Lava-me! e ficarei mais alvo que a neve. Faze-me ouvir júbilo e alegria para que exulte os ossos que trituraste! Esconde de meus pecados o teu rosto e apaga todas as minhas iniquidades! Ó Deus, cria para mim um coração puro e renova-me por dentro com um espírito decidido! Não me afastes de tua presença, nem retires de mim teu Santo Espírito! Restitui-me a alegria da tua salvação, e sustenta-me com um espírito generoso! Então, ensinarei aos transgressores teus caminhos, e os pecadores a Ti se converterão. Livra-me do crime de sangue, ó Deus, Deus da minha salvação! e minha língua aclamará tua justiça. Abre, Senhor, meus lábios! e minha boca proclamará o teu louvor. Pois não te agradas de um sacrifício, e se te oferecesse um holocausto, não o aceitarias. O sacrifício agradável a Deus é um espírito contrito; um coração contrito e humilhado não desprezarás, ó Deus. Faze o bem a Sião, segundo a tua benevolência; reconstrói os muros de Jerusalém! Então de agradarás dos sacrifícios devidos, dos holocaustos e das oferendas completas: dos novilhos que então serão oferecidos no teu altar.

(Modo 2º)

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν.

Glória ao Pai e ao Filho e ao Espírito Santo.

Pela intercessão da Santa Megalomártir, perdoa, ó Misericordioso, a multidão de nossos pecados.

Agora e sempre e pelos séculos dos séculos. Amém.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Pela intercessão da Theotokos, perdoa, ó Misericordioso, a multidão de nossos pecados.

Idiómelon

(Modo 2º — Versículos — Sl 50[51])

Ελέησον με, ο Θεός, κατά το μέγα έλεος σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημα μου.

Tem piedade de mim, ó Deus, segundo a tua grande misericórdia; segundo a tua grande clemência, apaga minhas transgressões!

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερῖνα σεμνή, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα, καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας, καὶ ῥητόρων ἔπαυσας, τὰς φληνάφους ῥήσεις Πολύαθλε.

Vivendo uma vida espiritual, cativaste o tribunal ímpio, ó Catarina, e permaneceste vitoriosa, com dignidade, adornada pelo resplendor divino, como se por flores. Revestida com o poder de Deus, zombaste do decreto do tirano, silenciando a fútil loquacidade dos oradores, ó santa Mártir, que tanto padeceste.

A Grande Intercessão

O Sacerdote:

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν

Salva, ó Deus, o teu povo e abençoa a tua herança. Olha para o teu mundo com misericórdia e compaixão. Exalta em glória os cristãos ortodoxos e envia sobre nós a tua abundante misericórdia: pelas intercessões da toda-pura Senhora nossa, a Theotokos e sempre Virgem Maria; pelo poder da preciosa e vivificante Cruz; pela proteção das veneráveis Potestades celestes e incorpóreas; pelas súplicas do venerável e glorioso Profeta, Precursor e Batista João; dos santos, gloriosos e ilustres Apóstolos; dos nossos santos Padres entre os santos, os grandes hierarcas e doutores ecumênicos Basílio, o Grande, Gregório o Teólogo e João Crisóstomo; Atanásio e Cirilo, e João, o Misericordioso, patriarcas de Alexandria; Nicolau, Arcebispo de Mira; Espiridão, bispo de Trimitunte; e Nectário de Pentápolis, o taumaturgo; dos santos, gloriosos e grandes mártires Jorge, o vitorioso, Demétrio de

Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων·ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Tessalônica, Teodoro, o recruta, Teodoro, o general, e Menas, o taumaturgo; dos santos hieromártires Caralampo e Eleutério; da santa e gloriosa grande mártir Eufêmia, a louvável; das santas e gloriosas mártires, Tecla, Bárbara, Anastásia, Kiriaki, Fotini, Marina, Paraskevi e Irene; dos nossos santos e teóforos Padres; de S. N. (titular da igreja ou monastério), dos santos e justos avós do Senhor, Joaquim e Ana e de Todos os Santos, nós te suplicamos, Senhor de infinita misericórdia: escuta a nossa oração e tem piedade de nós!

O Coro ou Leitor:

Κύριε, ἐλέησον (ιβ')

Kyrie, eléison. (12)

O Sacerdote:

Ἔλέει, καὶ οἰκτιρμοίς, καὶ φιλανθρωπία του μονογενοῦς σου Υἱοῦ, μεθ οὐ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας των αἰώνων.

Pela misericórdia, compaixão e filantropia de teu Filho unigênito com quem és bendito, juntamente com teu santíssimo, bom e vivificante Espírito, agora e sempre e pelos séculos dos séculos.

O Coro ou Leitor:

Ἀμήν.

Amém.

Kondákion da Festa

(Modo 4º — «Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ».

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι

O templo puríssimo do Salvador, a câmara preciosíssima e virginal, o Sagrado Tesouro da glória de Deus, é hoje introduzida na casa do Senhor, trazendo consigo a graça do Espírito Santo; ela, a quem os Anjos de

Θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Deus louvam clamando: «Esta é a tenda celestial»

Oikos

Τῶν ἀπορρήτων τοῦ Θεοῦ καὶ θείων μυστηρίων, ὁρῶν ἐν τῇ Παρθένῳ, τὴν χάριν δηλουμένην, καὶ πληρουμένην ἐμφανῶς, χαίρω, καὶ τὸν τρόπον ἐννοεῖν ἀμηχανῶ τὸν ξένον καὶ ἀπόῤῥητον, πῶς ἐκλελεγμένη ἡ ἄχραντος, μόνη ἀνεδείχθη ὑπὲρ ἅπασαν τὴν κτίσιν, τὴν ὁρατὴν καὶ τὴν νοουμένην. Διό, ἀνευφημεῖν βουλόμενος ταύτην, καταπλήττομαι σφοδρῶς νοῦν τε καὶ λόγον, ὅμως δὲ τολμῶν, κηρύττω καὶ μεγαλύνω· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ao ver na Virgem os mistérios inescrutáveis de Deus e sua graça manifesta e plenamente cumprida, sinto-me cheio de alegria, mas ao tentar compreender o incompreensível e o inefável, sou tomado de perplexidade, maravilhado com o fato de que a Imaculada, escolhida entre toda a criação visível e invisível, foi revelada como única acima de todas as coisas. Por isso, embora surpreso, ouso proclamar e exaltar: Esta é a tenda celestial.

Kondákion de Santa Catarina (recitado)

(Modo 2º — «Τὰ ἄνω ζητῶν».)

Χορείαν σεπτήν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον, Αἰκατερῖναν· αὕτη γάρ, ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Levantai-vos agora, ó veneráveis coros, os gloriosos mártires, e exaltemos a toda sábia Catarina. Pois ela proclamou Cristo na arena, e pisou sobre a serpente, desprezando a ciência dos oradores.

Oikos (recitado)

Τὴν ἐκ Θεοῦ σοφίαν λαβοῦσα παιδόθεν ἡ Μάρτυς, καὶ τὴν ἔξω καλῶς σοφίαν πᾶσαν μεμάθηκε, γνοῦσα δὲ ἐκ ταύτης τὴν τῶν στοιχείων κίνησίν τε καὶ ποίησιν κατὰ λόγον, καὶ τὸν αὐτὰ ἐξ ἀρχῆς διὰ λόγου ποιήσαντα, αὐτῷ τὴν εὐχαριστίαν ἐν νυκτὶ καὶ ἡμέρᾳ προσέφερε· τὰ δὲ εἴδωλα καθεῖλε, καὶ τοὺς ταῦτα ἀφρόνως λατρεύοντας, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

A Mártir, tendo recebido desde a infância a sabedoria divina e aprendido toda a sabedoria humana, compreendeu a ação e a criação dos elementos segundo a razão. Ela reconheceu que foi o mesmo Deus, que desde o princípio, por meio da palavra, os criou. A Ele, ofereceu ação de graças dia e noite. Destruiu os ídolos e derrubou aqueles que, de maneira insensata, os adoravam, desprezando o saber dos oradores.

(Do Menaion)

Synaxarion

Todos ficam de pé para a leitura do Synaxário.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης.

No dia 25 de novembro, comemoramos a Santa e Grande Mártir Catarina.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἑκατὸν πεντήκοντα Ῥήτορες, οἱ διὰ τῆς ἁγίας Αἰκατερίνης πιστεύσαντες τῷ Χριστῷ, πυρὶ τελειοῦνται.	Neste dia, os 150 Santos Oradores que creram em Cristo por meio de Santa Catarina morreram pelo fogo.
Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Βασίλισσα, ἡ γαμετὴ Μαξεντίου, ξίφει τελειοῦται.	Neste dia, a Santa Imperatriz, esposa de Maxêncio, morreu pela espada.
Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Πορφύριος, ὁ Στρατηλάτης, σὺν τοῖς διακοσίοις στρατιώταις, ξίφει τελειοῦνται.	Neste dia, São Porfírio, o General, junto com 200 soldados, morreu pela espada.
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου Μεγαλομάρτυρος Μερκουρίου.	Neste dia, também comemoramos o combate de São Mercúrio, o Grande Mártir.
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Πέτρου τοῦ Ἡσυχαστοῦ.	Neste dia, também comemoramos nosso devoto pai Pedro, o Hesicasta.
Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἑξακόσιοι ἑβδομήκοντα Μάρτυρες, ξίφει τελειοῦνται.	Neste dia, os 670 Santos Mártires morreram pela espada.
Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.	Por intercessão dos Teus Santos, ó Deus, tem misericórdia de nós. Amém.

KATAVASIAS DA NATIVIDADE

Ode I

(Modo 1º)

O Leitor (ou Psaltis):

Χριστὸς γεννᾶται· δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς· ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί· ὅτι δεδόξασται.	Cristo nasce: glorificai-O. Cristo vem dos céus: saí ao seu encontro. Cristo está sobre a terra: elevai-vos. Cantai ao Senhor, toda a terra; e vós, povos, celebrai-O com alegria, pois Ele foi glorificado.

Ode III

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.	Ao Filho gerado do Pai antes dos séculos, sem mutação, e que nos últimos tempos se encarnou da Virgem, sem semente, clamemos: «Tu que exaltaste o nosso poder, santo és Tu, Senhor».

Ode IV

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός,	Ó Cristo, brotaste como vara do tronco de Jessé e como flor dele surgida; de uma montanha densamente sombreada vieste

κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε.

encarnado da Virgem, Tu, o Imaterial e Deus. Glória ao teu poder, Senhor.

Ode V

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε Φιλάνθρωπε.

Sendo Deus da paz e Pai das misericórdias, enviaste-nos o Anjo do teu grande Conselho, que concede a paz. Conduzidos, pois, à luz da tua divina ciência, levantando-nos da noite ao amanhecer, glorificamos-Te, ó Filantropo.

Ode VI

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Celebrando esta festa divina e venerável da Theotokos, vinde, ó de espírito divino, batamos palmas e glorifiquemos a Deus que dela nasceu.

Ode VII

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Criados juntos na piedade, os Jovens desprezaram o decreto ímpio; não temeram a ameaça do fogo, mas, permanecendo no meio das chamas, cantavam: «Bendito és Tu, Deus de nossos Pais».

Ode VIII

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὗς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Louvemos, bendigamos e adoremos o Senhor.

A fornalha que difundia orvalho figurou o prodígio extraordinário: não queimou os Jovens que recebia, assim como o fogo da Divindade não consumiu o seio da Virgem onde entrou. Por isso, cantando, exaltemos: «Toda a criação bendiga o Senhor e O exalte por todos os séculos».

Todos ficam de pé para a Ode IX:

O MAGNIFICAT

(Modo Plagal 4º)

O DIÁCONO (OU O SACERDOTE):

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Exaltemos a Theotokos e Mãe da Luz, honrando-a com hinos.

(Do Menaion)

ODE IX

CANON I

(Modo 4º – Hirmós)

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων· χεῖλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα ἐν ἀγαλλιάσει βοάτω· Ὄντως ἀνωτέρα πάντων ὑπάρχεις, Παρθένε Ἁγνή.

Os Anjos, vendo a Entrada da Virgem, ficavam perplexos: como pôde Ela entrar com tanta glória no Santo dos Santos.

Como à Arca viva de Deus, que mão de não-iniciados jamais se atreva a tocá-La; ao contrário, que os lábios dos fiéis cantem incessantemente à Theotokos o brado do Anjo, e, exultantes, clamem: Verdadeiramente és superior a todos, ó Virgem puríssima.

TROPARIA

Ἄγγελοι τὴν Εἴσοδον τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ὡς ὑπέρλαμπρον Θεοτόκε Ἁγνή, ψυχῆς τὸ καθαρὸν ἔχουσα κάλλος· χάριτος δὲ Θεοῦ ἐμπιπλαμένη οὐρανόθεν, φωτὶ ἀϊδίῳ καταυγάζεις ἀεί τοὺς ἐν εὐφροσύνῃ βοῶντας· Ὄντως ἀνωτέρα πάντων ὑπάρχεις, Παρθένε Ἁγνή.

Os Anjos, vendo a Entrada da toda-puríssima, ficavam assombrados: como Ela entrou com glória no Santo dos Santos.

Ó puríssima Theotokos, que possuis a beleza límpida da alma e és plena da graça de Deus descida do céu, iluminas incessantemente com luz eterna os que, em júbilo, clamam: Verdadeiramente és superior a todos, ó Virgem puríssima.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ὑπερίπταται, Θεοτόκε Ἁγνή, τὸ θαῦμά σου τὴν δύναμιν τῶν λόγων· σῶμα γὰρ ἐν σοὶ κατανοῶ ὑπὲρ λόγον, ῥοῆς ἁμαρτίας ἀνεπίδεκτον· ὅθεν εὐχαρίστως βοῶ σοι·

Os Anjos, vendo a Entrada da Virgem, maravilhavam-se como, de modo tão paradoxal, Ela entrou no Santo dos Santos.

Teu prodígio, ó pura Theotokos, ultrapassa a força das palavras; pois contemplo em ti um corpo acima de toda razão, inacessível ao fluxo do pecado. Por isso, com ação de

Ὄντως ἀνωτέρα πάντων ὑπάρχεις, Παρθένε Ἁγνή.

Ἄγγελοι καὶ ἄνθρωποι τῆς Παρθένου τὴν Εἴσοδον τιμήσωμεν, ὅτι ἐν δόξῃ εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Παραδόξως προδιετύπου, Ἁγνή, ὁ Νόμος σε σκηνὴν καὶ θείαν στάμνον, ξένην κιβωτόν, καὶ καταπέτασμα καὶ ῥάβδον, ναὸν ἀκατάλυτον, καὶ πύλην Θεοῦ· ὅθεν ἐκδιδάσκει σοι κράζειν· Ὄντως ἀνωτέρα πάντων ὑπάρχεις, Παρθένε Ἁγνή.

graças, clamo a ti: Verdadeiramente és superior a todos, ó Virgem puríssima.

Anjos e homens, honremos a Entrada da Virgem, pois Ela entrou em glória no Santo dos Santos.

De modo admirável, o Antigo Lei te prefigurou, ó Puríssima, como tenda sagrada e urna divina, como Arca singular, véu do Santuário, vara de Aarão, templo indestrutível e porta de Deus. Por isso, ela nos ensina a clamar: Verdadeiramente és superior a todos, ó Virgem puríssima.

Canon II da Festa

(Modo 1º — «*Τὴν φωτοφόρον νεφέλην*»)

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν, ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Ἐκ τῶν Δικαίων προῆλθεν, Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἐπαγγελίας ὁ καρπός, ἡ θεόπαις Μαρία, καὶ ὡς θυμίαμα δεκτόν, σαρκὶ νηπιάζουσα προσφέρεται, Ἱερῷ ἐν ἁγίῳ, ὡς Ἁγία, εἰς τὰ Ἅγια οἰκεῖν.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν, ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Τὴν νηπιάζουσαν φύσει, καὶ ὑπὲρ φύσιν Μητέρα, ἀναδειχθεῖσαν τοῦ Θεοῦ, εὐφημήσωμεν ὕμνοις, ἐν τῷ Ναῷ τῷ νομικῷ· Κυρίῳ γὰρ σήμερον προσφέρεται, εἰς ὀσμὴν εὐωδίας, τῶν Δικαίων, ὡς καρπὸς πνευματικός.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν, ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Σὺν τῷ Ἀγγέλῳ τὸ χαῖρε, τῇ Θεοτόκῳ προσφόρως, ἀναβοήσωμεν πιστοί· Χαῖρε πάγκαλε Νύμφη, χαῖρε νεφέλη φωτεινή, ἐξ ἧς ἡμῖν ἔλαμψεν ὁ Κύριος, τοῖς ἐν σκότει ἀγνοίας, καθημένοις, χαῖρε πάντων ἡ ἐλπίς.

Enaltece, ó minha alma, aquela que foi ofertada no Templo do Senhor e abençoada pelas mãos dos sacerdotes.

Da linhagem dos Justos, Joaquim e Ana, surgiu como fruto da promessa Maria, a Menina de Deus; e, como incenso agradável, sendo ainda pequenina segundo a carne, é oferecida ao Santo Templo para habitar no Santo dos Santos como Santa.

Enaltece, ó minha alma, aquela que foi ofertada no Templo do Senhor e abençoada pelas mãos dos sacerdotes.

A que é por natureza uma criança, mas foi escolhida acima da natureza para ser Mãe de Deus, celebremos com hinos: pois hoje Ela é oferecida ao Senhor no Templo segundo a Lei, como perfume suave, fruto espiritual dos Justos.

Enaltece, ó minha alma, aquela que foi ofertada no Templo do Senhor e abençoada pelas mãos dos sacerdotes.

Com o Anjo, elevemos também nós, fiéis, o "Alegra-te!" à Theotokos de modo digno: Alegra-te! ó toda-formosa Esposa; Alegra-te! ó nuvem luminosa, da qual nos resplandeceu o Senhor, a nós que estávamos sentados nas trevas da ignorância. Alegra-te!, esperança de todos!

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν, ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας εὐσεβῶς, τὸν Υἱόν σου, Παρθένε Θεογεννήτορ, ὡς Θεόν, τοῦ κόσμου καὶ Κύριον, ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Enaltece, ó minha alma, aquela que foi ofertada no Templo do Senhor e abençoada pelas mãos dos sacerdotes.

À tua compaixão recorremos com fé, ó Virgem, Mãe de Deus, nós que piedosamente adoramos teu Filho como Deus e Senhor do mundo. Intercede junto a Ele para que sejamos libertos da corrupção, dos perigos e de toda sorte de tentações.

(Do Menaion)

Cânon III - Para a Santa Megalomártir

(Modo Plagal 4º — «*Ἐξέστη ἐπὶ τούτῳ*».

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μετέστης πρὸς θαλάμους φωτοειδεῖς, νυμφικοῖς κοσμουμένη στολίσμασι, παρθενικὴν ἔχουσα λαμπάδα τῇ δεξιᾷ, τῇ δὲ ἑτέρᾳ φέρουσα, τὴν ἀποτμηθεῖσάν σου κεφαλήν· καὶ νῦν παρισταμένη Χριστῷ τῷ σῷ Νυμφίῳ, τοὺς σὲ ὑμνοῦντας περιφρούρησον.

Santa de Deus, intercede por nós.

Foste conduzida aos aposentos nupciais radiantes, ornada com adornos de núpcias; tinhas na destra a lâmpada virginal e, na outra mão, trazias tua cabeça decepada. E agora, apresentando-te diante de Cristo, teu Esposo, protege aqueles que te entoam louvores.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐδέχθη σου θεόφρον ἡ προσευχή· τοὺς γὰρ πίστει τὴν σὴν ὀνομάζοντας, κλῆσιν σεμνή, σῴζει ὁ Δεσπότης ἐκ πειρασμῶν, καὶ εὐρωστίαν δίδωσι, νόσων ἀπαλλάττων παντοδαπῶν, ψυχῶν τε καὶ σωμάτων· διό σε γεγηθότες, Αἰκατερῖνα μακαρίζομεν.

Santa de Deus, intercede por nós.

Tua oração foi acolhida, ó Catarina de mente divina; pois o Soberano salva das provações aqueles que, com fé, invocam teu venerável nome, concede-lhes vigor e os liberta de toda espécie de enfermidades da alma e do corpo. Por isso, exultantes, nós te proclamamos bem-aventurada, ó Catarina.

Δόξα Πατρί και Υἱῷ και Ἁγίῳ Πνεύματι.

Λιμένι καθωρμίσθης νῦν γαληνῷ, εὐσταλῶς τε καὶ κούφως τὴν θάλασσαν τὴν κοσμικὴν, Μάρτυς, διελθοῦσα τρικυμιῶν, μὴ πειρασθεῖσα, πάνσοφε, πλοῦτον πολυποίκιλον τῷ Χριστῷ προσφέρουσα, Παρθένε, τὸν δῆμον τῶν Μαρτύρων, Αἰκατερῖνα παμμακάριστε.

Glória ao Pai e ao Filho e ao Espírito Santo.

Ancoraste agora no porto sereno, ó Mártir, tendo atravessado com elegância e leveza o mar tempestuoso do mundo, sem seres atingida por tentações, ó sapientíssima. E ofereces a Cristo, como riqueza multiforme, o coro dos Mártires, ó Virgem, ó Catarina toda-bem-aventurada.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν.

Agora e sempre e pelos séculos dos séculos. Amém.

Theotókion

Ὡράθης, ὦ Παρθένε Μῆτερ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι τὸν ἀγαθὸν Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο πρὸ πάντων τῶν αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Foste contemplada, ó Virgem Mãe de Deus, dando à luz de modo sobrenatural, em corpo, o Verbo bondoso que o Pai, sendo bom, proferiu de seu próprio coração antes de todos os séculos. Aquele que agora compreendemos estar acima de todos os corpos — ainda que esteja revestido de um corpo.

Ode IX – Katavasia

(Modo 1º)

Μεγάλυνόν, ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον Χερουβικὸν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλήθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Enaltece, ó minha alma, a mais venerável e mais gloriosa que os exércitos celestiais.

Vejo um mistério novo e maravilhoso: o estábulo tornou-se céu, a Virgem — trono querúbico, a manjedoura — receptáculo, onde repousou o Incompreensível, Cristo Deus, a que

Pequena Súplica

O Sacerdote:

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Mais e mais, oremos em paz ao Senhor!

O Coro:

Κύριε ἐλέησον.

Kyrie, eléison.

O Sacerdote:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ampara-nos, salva-nos, tem piedade de nós e protege-nos, ó Deus, por tua graça.

O Coro:

Κύριε ἐλέησον

Kyrie, eléison.

O Sacerdote:

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Tendo comemorado nossa santíssima, pura, bendita e gloriosa Senhora, a Theotokos e sempre virgem Maria, com todos os Santos, recomendemo-nos a nós mesmos e uns aos outros, e toda a nossa vida a Cristo nosso Deus.

O Coro:

Σοὶ Κύριε.

A Ti, Senhor!

O Sacerdote:

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις των οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας των αἰώνων.

Porque a Ti louvam todas as Potestades celestes e Te glorificam, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre, e pelos séculos dos séculos.

O Coro:

Ἀμήν.

Amém.

EXAPOSTILARION

Para Santa Catarina

Modo 3º — *«Ἐν Πνεύματι τῷ Ἱερῷ».*)

Ἐνέυρωσας τὸ φρόνημα γυναικῶν, ὦ παρθένε Αἰκατερῖνα πάντιμε, ἀθλοφόρων ἡ δόξα, καὶ φιλοσόφων ἄνοιαν ἐν Θεῷ διήλεγξας, ὡς λῆρον οὖσαν καὶ μῦθον, τὴν Πανάμωμον ὄντως καὶ Μῆτερα τοῦ Θεοῦ συλλήπτορα κεκτημένη.

Fortaleceste o ânimo das mulheres, ó toda venerável virgem, glória dos atletas da fé, e refutaste, em Deus, a insensatez dos filósofos como sendo mito e vã tagarelice, tendo por auxílio a toda-imaculada, que é verdadeiramente a Mãe de Deus.

Para a Festa

(Mesmo Modo).

Τοῦ ἱεροῦ σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τὰ ἐνδότερα, χερσὶν Ἀρχιερέως· ἐν οἷς τριῶν ἀπὸ χρόνων, ἕως δύο καὶ δέκα, διέμεινας τρεφομένη χειρὶ θείου Ἀγγέλου, ὡς ἁγία κιβωτός, τοῦ πάντα τεκτηναμένου.

Hoje, o Santo dos Santos te recebe, ó Virgem Theotokos, pelas mãos do Sumo Sacerdote; e ali permaneceste, desde os três até os doze anos, sendo alimentada pela mão de um Anjo divino, como arca sagrada d'Aquele que tudo criou.

Os Louvores (Ainoi)

(Modo 4º)

Coro ou Leitor:

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Que tudo o que respira louve ao Senhor.

Louvai ao Senhor dos Céus, louvai-o nas alturas! A Ti convém o louvor, ó Deus!

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.	*Louvai-o todos os seus anjos, louvai-o todos os seus exércitos! A Ti convém o louvor, ó Deus!*

(Do Octoechos)

Stichologia

Coro ou Leitor:

1.	Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.	Louvai-o, sol e lua; louvai-o, todas as estrelas e a luz.
2.	Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.	Louvai-o, céus dos céus, e vós, águas que estais acima dos céus. Louvem o nome do Senhor.
3.	Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.	Pois Ele falou, e tudo foi feito; Ele ordenou, e tudo foi criado.
4.	Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.	Estabeleceu-os para sempre, pelos séculos dos séculos; deu-lhes um decreto que não passará.
5.	Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.	Louvai o Senhor desde a terra, dragões e todos os abismos.
6.	Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.	Fogo e granizo, neve e gelo, vento tempestuoso que cumpre a sua palavra.
7.	Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.	Montes e todas as colinas, árvores frutíferas e todos os cedros.
8.	Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.	Animais selvagens e todo o gado, répteis e aves aladas.
9.	Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.	Reis da terra e todos os povos, príncipes e todos os juízes da terra.
10.	Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.	Jovens e virgens, anciãos com os mais novos: louvem o nome do Senhor, pois somente o seu nome foi exaltado.
11.	Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.	A sua glória está sobre a terra e sobre os céus, e Ele exalta o poder do seu povo.
12.	Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.	Hino para todos os seus santos, para os filhos de Israel, povo que se aproxima dele.
13.	Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.	Cantai ao Senhor um cântico novo; o seu louvor esteja na assembleia dos santos.
14.	Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.	Alegre-se Israel naquele que o criou, e exultem os filhos de Sião no seu Rei.

15.	Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.	Louvem o seu nome com danças; cantem-lhe hinos com tamborim e saltério.
16.	Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.	Pois o Senhor se compraz no seu povo e exalta os mansos com a salvação.
17.	Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.	Os santos se gloriarão na glória e exultarão em seus leitos.
18.	Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.	Os louvores de Deus estejam em sua garganta, e espadas de dois gumes em suas mãos.
19.	Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.	Para executar vingança entre as nações e castigos entre os povos.
20.	Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.	Para prender os seus reis com grilhões e os seus nobres com algemas de ferro.

Stchira da Festa

(Modo 1º — *«Τῶν οὐρανίων ταγμάτων»*.)

Stichéron 1

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Λαμπαδηφόροι παρθένοι, τὴν Ἀειπάρθενον φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως ἐν Πνεύματι τὸ μέλλον· ναὸς γὰρ Θεοῦ ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν ναὸν μετὰ δόξης παρθενικῆς, νηπιόθεν ἐμβιβάζεται.

Para fazer cumprir neles o que estava escrito; isto é glória para todos os seus santos.

As virgens portadoras de lâmpadas, iluminando alegremente o caminho da Sempre-Virgem, de fato profetizam em Espírito o que está por vir: pois sendo a Theotokos templo de Deus, é conduzida com glória virginal ao Templo, desde a infância.

Stichéron 2

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεής, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ κόσμῳ, ὡς πάντων ὑπερτέρα· ἣ εὐσεβῶς προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη θείῳ Πνεύματι.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς εγαλωσύνης αὐτοῦ.

Ἐπουρανίῳ τραφεῖσα, Παρθένε ἄρτῳ πιστῶς, ἐν τῷ Ναῷ Κυρίου, ἀπεκύησας κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον, οὗ ὡς

Louvai a Deus em seus santos, louvai-o no firmamento de seu poder.

A Theotokos, verdadeiro fruto da santa promessa, foi revelada ao mundo como superior a todos; sendo piedosamente conduzida à casa de Deus, ela cumpre a oração de seus genitores, sendo preservada pelo Espírito divino.

Louvai-O por Seus poderosos feitos; louvai-O segundo a grandeza de Sua majestade.

Nutrida com o Pão celestial, ó Virgem, com fidelidade, no Templo do Senhor, deste ao mundo o Pão da Vida, o Verbo,

ναός, ἐκλεκτὸς καὶ πανάμωμος, προεμνηστεύθης τῷ Πνεύματι μυστικῶς, νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

do qual, como templo escolhido e imaculado, foste misticamente desposada pelo Espírito, e unida em núpcias ao Deus e Pai.

(Do Menaion)

Stchira para Santa Catarina

(Modo 4º – «Ἔδωκας σημείωσιν».

Στίχ: Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Μνήμην τὴν πανίερον, Αἰκατερῖνα πανεύφημε, τῆς σεπτῆς σου ἀθλήσεως, τελοῦντες δοξάζομεν, ἐν φωναῖς ἀπαύστοις, τὸν δεδωρημένον, ὑπομονήν σοι καρτεράν, καὶ νικηφόρον σε ἀναδείξαντα, καὶ λόγον χορηγήσαντα, καταπτοοῦντα τοὺς ῥήτορας, Ἰησοῦν τὸν φιλάνθρωπον, καὶ Σωτῆρα καὶ Κύριον

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Μάρτυς ἐθελούσιος, Αἰκατερῖνα πανένδοξε, καθωράθης τὸν τύραννον, εὐτόνως ἐλέγξασα, καὶ δεινὴν μανίαν, τῆς πολυθεΐας, θεογνωσίας φωτισμῷ, καταβαλοῦσα, καὶ θείᾳ χάριτι, ἐντεῦθεν καὶ ὡς Μάρτυρα, καὶ ὡς Παρθένον πανάμωμον, ὁ Χριστὸς ἐστεφάνωσεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Χάριν τὴν τοῦ Πνεύματος, Αἰκατερῖνα πανένδοξε, ἐν ἀνοίξει τοῦ στόματος, ἐδέξω καθάρασα, σεαυτὴν προθύμως, διὰ πολιτείας, καὶ λογισμῷ καρτερικῷ, τὴν τῶν τυράννων ὀφρύν, κατέσπασας· καὶ κάλλει τῷ τοῦ σώματος, τὴν ψυχικὴν ὡραιότητα, θεοφρόνως ἀντέθηκας, Ἀθλητῶν ἐγκαλλώπισμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ *Πνεύματι.*

Vers.: Louvai-o com toque de trombeta, louvai-o com cítara e harpa;

*Celebramos, ó Catarina, com cânticos sem fim, * a memória da tua luta santa e gloriosa, * e com vozes incessantes exaltamos o Senhor Deus, * que te concedeu paciência até o fim, * que te exaltou como vencedora, * e te deu palavras de sabedoria, * para calar os oradores ímpios, * nosso bom e filantropo Jesus, * que salva nossas almas.*

2º Vers.: Louvai-o com dança e tambor, louvai-o com cordas e flauta!

*Ó ilustre mártir Catarina, * com firmeza de vontade, * confrontaste o tirano, * repreendendo-o com coragem; * e, pela luz da verdadeira fé, * destruíste a terrível loucura da idolatria, * iluminada pela divina sabedoria. * E, pela graça divina, * Cristo te coroou, * tanto como mártir, * quanto como Virgem Imaculada, * o Salvador de nossas almas.*

3º Vers.: Louvai-O com címbalos sonoros, louvai-O com címbalos triunfais. Todo ser que respira louve ao Senhor.

*Ó ilustre Catarina, * purificada por uma vida piedosa, * abriste a boca para falar, * e recebeste a graça divina * do Espírito Santo. * Com firmeza de espírito, * rompeste a insolência impiedosa do tirano. * Uniste a beleza do corpo * à formosura da alma, * lembrando-te de Deus, o Senhor, * ó adorno dos Santos Mártires.*

Glória ao Pai, e ao Filho, e ao Espírito Santo.

(Do Menaion)

(Modo 2º)

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερῖνα σεμνή, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα, καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας, καὶ ῥητόρων ἔπαυσας, τὰς φληνάφους ῥήσεις Πολύαθλε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Vivendo uma vida espiritual, ó Catarina, * cativaste o tribunal ímpio, * e te elevaste digna e vitoriosa, * revestida da esplendorosa luz divina, * como flores que adornam o campo. * Revestida com o poder de Deus, * zombaste do decreto do tirano, * e silenciaste a falácia dos oradores, * ó gloriosa vencedora.*

Agora e sempre, e pelos séculos dos séculos. Amém.

Para a Festa

(Modo 2º)

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. Σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται· ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος· Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

*Hoje, a Imaculada Virgem é conduzida ao Templo, * como morada do Deus Onipotente, * e fonte de toda a nossa vida. * Hoje, o mais puro dos santuários, * como uma jovem vitela de três anos, * é levada aos Santos dos Santos. * A ela clamemos, com o Anjo: * Alegra-te, única bendita entre as mulheres.*

Todos de pé para a Grande Doxologia.

A Grande Doxologia

Coro ou Leitor:

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ,

Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,

Glória a Ti, que nos revelaste a luz!

*Glória a Deus no mais alto dos Céus! *Paz na terra, *benevolência aos homens.*

*Nós te louvamos, *te bendizemos, *te adoramos, te glorificamos; *te damos graças *por tua imensa glória.*

*Senhor Deus, *Rei celestial, *Pai omnipotente.*

*Senhor, Filho unigênito, *Jesus Cristo *e Espírito Santo!*

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

*Senhor Deus, *Cordeiro de Deus, *Filho de Deus Pai, *tu, que tiras o pecado do mundo, *tem piedade de nós! *(Tu que tiras o pecado do mundo).*

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

*Acolhe a nossa súplica, *tu que estás à direita do Pai, *e tem piedade de nós!*

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

*Só tu és Santo, *só tu és Senhor, *Jesus Cristo, *na glória de Deus Pai. Amém.*

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

*A cada dia eu te bendigo *louvando o teu nome, agora e sempre *e pelos séculos dos séculos.*

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

*Ajuda-nos, Senhor, *a permanecer sem pecado *(sem pecado) neste dia.*

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

*Tu és bendito ó Senhor, *Deus dos nossos pais, *e que teu nome *seja louvado e glorificado *pelos séculos. Amém.*

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

*Derrama sobre nós, Senhor, *a tua misericórdia, *porque tu és a nossa esperança.*

Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. (3)

*Tu és bendito, ó Senhor, *ensina-me teus mandamentos. (3)*

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ.

*Tu és o nosso eterno refúgio, Senhor, *de geração em geração.*

Ἐγὼ εἶπα Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι

*Eu disse: Senhor, tem piedade de mim, *cura a minha alma *porque pequei perante Ti!*

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

*Em Ti, Senhor, eu me refugio; ensina-me *a fazer a tua vontade, *pois tu és meu Deus.*

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

*Porque em Ti *está a fonte da vida; *na tua luz vemos a luz.*

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

*Estende a tua misericórdia, *sobre todos os que te confessam.*

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (3)

Santo Deus, Santo Forte, Santo Imortal, tem piedade de nós. (3)

Δόξα Πατρὶ ... Καὶ νῦν καὶ ἀεὶ ...

Glória ao Pai ... Agora e sempre ...

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Santo Imortal, tem piedade de nós.

E, novamente, com voz mais elevada.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Santo Deus, Santo Forte, Santo Imortal, tem piedade de nós.

Após a Doxologia, canta-se:

Apolitíkion da Festa da Apresentação

(Modo 4º)

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Hoje é o prelúdio da benevolência de Deus e a proclamação preliminar da salvação dos homens. A Virgem apresenta-se com esplendor no Templo de Deus e antecipadamente anuncia Cristo a todos. A ela nós também clamamos em alta voz: «Alegra-te! ó realização da economia do Criador!»

Súplica Insistente

O Diácono (ou o Sacerdote):

Ελέησον ημάς ο Θεός κατά το μέγα έλεος σου, δεόμεθά σου, επάκουσον και ελέησον.

Tem piedade de nós, ó Deus, segundo a tua grande misericórdia; nós te suplicamos: escuta-nos e tem piedade de nós.

O Coro:

Κύριε ελέησον. (γ΄)

Kyrie, eléison! (3)

E, assim, a cada súplica.

O Diácono (ou o Sacerdote):

Έτι δεόμεθα υπέρ των ευσεβών και Ορθοδόξων Χριστιανών.

Oremos ainda por todos os cristãos piedosos e ortodoxos.

Έτι δεόμεθα υπέρ του Πατρός και Αρχιεπισκόπου ημών (του διένος), και πάσης της εν Χριστώ ημών αδελφότητος.

Oremos pelo nosso (Arce)bispo N., e por toda a nossa fraternidade em Cristo.

Έτι δεόμεθα υπέρ ελέους, ζωής, ειρήνης, υγείας, σωτηρίας, επισκέψεως, συγχωρήσεως και αφέσεως των αμαρτιών των δούλων του Θεού, πάντων των ευσεβών και ορθοδόξων χριστιανών, των κατοικούντων και παρεπιδημούντων εν τη κώμη ταύτη, των ενοριτών, επιτρόπων, συνδρομητών και αφιερωτών του αγίου ναού τούτου.

Oremos ainda implorando misericórdia, vida, paz, saúde, salvação, visita divina, perdão e remissão dos pecados aos servos de Deus os cristãos piedosos e ortodoxos que habitam neste lugar, aos nossos paroquianos, aos membros de nossa Diretoria e todos os piedosos devotos deste santo templo.

Έτι δεόμεθα υπέρ των μακαρίων και αοιδίμων κτιτόρων της αγίας Εκκλησίας ταύτης, και υπέρ πάντων των προαναπαυσαμένων πατέρων και αδελφών ημών, των ενθάδε ευσεβώς, κειμένων, και απανταχού ορθοδόξων.

Oremos pelos bem-aventurados e inesquecíveis fundadores deste santo templo, por nossos pais e irmãos falecidos e todos os cristãos piedosos e ortodoxos que repousam piedosamente aqui e em toda parte do mundo.

Έτι δεόμεθα υπέρ των καρποφορούντων και καλλιεργούντων εν τω αγίω και πανσέπτω ναώ τούτω, κοπιώντων, ψαλλόντων και υπέρ του περιεστώτος λαού, του απεκδεχομένου το παρά σου μέγα και πλούσιον έλεος.

Oremos ainda pelos benfeitores deste santo templo, por aqueles que aqui trabalham ou cantam, e por todos nós, teu povo aqui presente, que esperamos de Ti grande e abundante misericórdia.

Ότι ελεήμων και φιλάνθρωπος Θεός υπάρχεις, και σοι την δόξαν αναπέμπομεν, τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων.

Porque és um Deus misericordioso e filantropo, e a Ti damos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Αμήν.

Amém.

Litania Complementar

O Diácono (ou o Sacerdote):

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Completemos a nossa oração matutina ao Senhor.

O Coro:

Κύριε ελέησον.

Kyrie, eléison!

O Diácono (ou o Sacerdote):

Υπέρ του αγίου Οίκου ούτου και των μετά πίστεως, ευλαβείας και φόβου Θεού εισιόντων εν αυτώ, του Κυρίου δεηθώμεν.

Por este santo templo, e por todos aqueles que aqui entram com fé e reverente temor a Deus, oremos ao Senhor.

Υπέρ του ρυσθήναι ημάς από πάσης θλίψεως, οργής, κινδύνου και ανάγκης, του Κυρίου δεηθώμεν.

Para que sejamos livres de toda aflição, ira, perigo e necessidade, oremos ao Senhor.

O Diácono (ou o Sacerdote):

Αντιλαβού, σώσον, ελέησον και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.

Ampara-nos, salva-nos, tem piedade de nós e protege-nos, ó Deus, por tua graça.

O Coro:

Κύριε ελέησον.

Kyrie, eléison!

O Diácono (ou o Sacerdote):

Την έσπέραν πάσαν, τελείαν, αγίαν, ειρηνικήν και αναμάρτητον, παρά του Κυρίου, αιτησώμεθα.

Para que todo este dia seja perfeito, santo, pacífico e sem pecado, peçamos ao Senhor.

O Coro:

Παράσχου Κύριε,

Concede, ó Senhor!

E, assim, a cada súplica.

O Diácono (ou o Sacerdote):

Άγγελον ειρήνης, πιστόν οδηγόν, φύλακα των ψυχών και των σωμάτων ημών, παρά του Κυρίου αιτησώμεθα.	Um Anjo de paz, guia fiel e guardião de nossas almas e corpos, peçamos ao Senhor.
Συγγνώμην και άφεσιν των αμαρτιών και των πλημμελημάτων ημών, παρά του Κυρίου αιτησώμεθα.	O perdão e a remissão de nossos pecados e culpas, peçamos ao Senhor.
Τα καλά και συμφέροντα ταις ψυχαίς ημών και ειρήνην τω κόσμω, παρά του Κυρίου αιτησώμεθα.	Tudo o que é bom e conveniente às nossas almas, e a paz para o mundo, peçamos ao Senhor.
Τον υπόλοιπον χρόνον της ζωής ημών εν ειρήνη και μετανοία εκτελέσαι, παρά του Κυρίου αιτησώμεθα.	Para que passemos o que nos resta de nossas vidas em paz e penitência, peçamos ao Senhor.
Χριστιανά τα τέλη της ζωής ημών, ανώδυνα, ανεπαίσχυντα, ειρηνικά, και καλήν απολογίαν την επί του φοβερού βήματος του Χριστού αιτησώμεθα.	Um fim de vida cristão, pacífico, sem dor, irrepreensível, e uma sentença favorável perante o temível tribunal de Cristo, peçamos ao Senhor.
Της Παναγίας, αχράντου, υπερευλογημένης, ενδόξου Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας, μετά πάντων των Αγίων μνημονεύσαντες, εαυτούς και αλλήλους και πάσαν την ζωήν ημών Χριστώ τω Θεώ παραθώμεθα.	Tendo comemorado nossa santíssima, pura, bendita e gloriosa Senhora, a Theotokos e sempre virgem Maria, com todos os Santos, recomendemo-nos a nós mesmos e uns aos outros, e toda a nossa vida a Cristo nosso Deus.

O Coro:

Σοι Κύριε.	*A Ti, Senhor!*

O Sacerdote:

Ότι Θεός ελέους, οικτιρμών και φιλανθρωπίας υπάρχεις και σοι την δόξαν αναπέμπομεν, τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων.	Pois Tu és um Deus bom, misericordioso e filantropo e a Ti damos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Αμήν.	Amém.

O Sacerdote:

Ειρήνη πάσι.	Paz a todos!

O Coro:

Και τω πνεύματί σου.	E ao teu espírito.

O Diácono (ou o Sacerdote):

Τας κεφαλάς ημών τω Κυρίω κλίνωμεν.	Inclinemos nossas cabeças ao Senhor!

O Coro:

Σοι Κύριε.	A Ti, Senhor!

Oração de Inclinação

O Sacerdote (em voz baixa):

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ δεόμεθά σου, ἅγιε ἁγίων· Ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.	Senhor Santo, que habitas no mais alto céu e olhas com misericórdia os humildes, e com tua onipotência sustentas a criação: diante de Ti inclinamos nossas cabeças e os nossos corações e te suplicamos: estende tua mão invisível do alto da tua santa morada e abençoa-nos. E, se pecamos, voluntária ou involuntariamente, concede-nos o teu perdão. Tu, que és bom e filantropo, dá-nos teus bens neste mundo e no que há de vir.

E, em voz alta, completa:

Σον γαρ εστι το ελεείν και σώζειν ημάς, ο Θεός ημών, και σοι την δόξαν αναπέμπομεν, τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων.	Pois tu és o Deus da misericórdia e da salvação, e a Ti damos glória, ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Αμήν.	Amém.

O diácono (ou o Sacerdote):

Σοφία.	Sabedoria!

O Coro:

Πάτερ, ευλόγησον.	Padre, abençoa-nos!

O Sacerdote:

Ο ων ευλογητός Χριστός ο Θεός ημών πάντοτε νυν, και αεί, και εις τους αιώνας των αιώνων.	O que é bendito, Cristo nosso Deus, em todo tempo, agora e sempre e pelos séculos dos séculos.

O Coro:

Αμήν.	Amém.

O Sacerdote:

Στερεώσαι Κύριος ο Θεός την αγίαν και αμώμητον πίστιν των ευσεβών και ορθοδόξων Χριστιανών, συν τη αγία Εκκλησία και τη πόλει (κώμη, Μονή) ταύτη εις αιώνας αιώνων. Αμήν.	Consolida, ó Senhor Deus, a santa e imaculada fé dos cristãos piedosos e ortodoxos nesta santa igreja (neste monastério) e nesta cidade, agora e sempre e pelos séculos dos séculos. Amém.

O diácono (ou o Sacerdote):

Υπεραγία Θεοτόκε σώσον ημάς.	Santíssima Mãe de Deus, salva-nos!

O Coro:

Την τιμιωτέραν των Χερουβείμ, και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσαν, την όντως Θεοτόκον, σε μεγαλύνομεν.	Mais venerável que os Querubins e, incomparavelmente, mais gloriosa que os Serafins; que, sem mácula, deste à luz o Verbo de Deus; a ti, que és realmente a Theotokos, nós te enaltecemos!

Despedida

O Sacerdote:

Δόξα σοι, Χριστέ ο Θεός, η ελπίς ημών, δόξα σοι.	Glória a Ti, ó Cristo Deus, esperança nossa, glória a Ti!

O Coro:

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι, και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.	Glória ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos. Amém.
Κύριε, ελέησον (γ΄). Πάτερ ευλόγησον.	Kyrie, eléison (3). Padre, abençoa-nos!

Apólise (Despedida)

Ο ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τό Πανάγιον Πνεῦμα, ἐπί τούς ΄Αγίους Αὐτοῦ μαθητάς καί ΄Αποστόλους, Χριστός, ὁ ἀληθινός ...	Ó Cristo, nosso verdadeiro Deus, que enviaste do Céu o Espírito Santo aos teus santos Discípulos e Apóstolos em forma de línguas de fogo, pela intercessão ...

E, fazendo uma metânia voltado para o Oriente, conclui em voz média:

Δι' ευχών των αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ, ο Θεός ημών, ελέησον και σώσον ημάς. (Αμήν.)	Pelas orações dos nossos santos Padres, Senhor Jesus Cristo, nosso Deus, tem piedade de nós e salva-nos! (Amém.)

E tem início aqui a Divina Liturgia de São João Crisóstomo.

A Divina Liturgia

as antífonas

Primeira Antífona

(Modo 2º)

Στίχ. α΄. Μέγας Κύριος καὶ αἰνετός σφόδρα.	Vers. 1: Grande é o Senhor e sumamente digno de louvor.

E o coro, cantando, alterna com leitor a cada versículo:

Ταίς πρεσβείαις τής Θεοτόκου, Σώτερ σώσον ημάς.	Pelas intercessões da Theotokos, ó Salvador, salva-nos!
Στίχ. β΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.	Vers. 2: Coisas gloriosas foram ditas de ti, ó Cidade de Deus.
Ταίς πρεσβείαις ...	Pelas intercessões da Theotokos ...
Στίχ. γ΄. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.	Vers. 3: Deus é conhecido em suas fortificações.
Ταίς πρεσβείαις ...	Pelas intercessões da Theotokos ...
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.	Glória ao Pai e ao Filho e ao Espírito Santo. Agora e sempre e pelos séculos dos séculos. Amém.

Segunda Antífona

(Mesmo modo)

Στίχ. α'. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.	Vers. 1: O Altíssimo santificou a sua morada.

E o coro, cantando, alterna com leitor a cada versículo. Aos domingos:

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντας σοι· Ἀλληλούϊα.	Salva-nos, ó Filho de Deus, Tu que és admirável entre os santos. * A Ti cantamos: Aleluia!
Στίχ. β'. Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.	Vers. 2: Santidade e majestade estão diante d'Ele; poder e esplendor enchem o seu santuário.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ ...	Salva-nos, ó Filho de Deus ...
Στίχ. γ'. Αὕτη ἡ πύλη Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.	Vers. 3: Esta é a porta do Senhor; por ela entrarão os justos.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ ...	Salva-nos, ó Filho de Deus ...
Στίχ. δ'. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.	Vers. 4: Santo é o teu templo, admirável em justiça.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ …	*Salva-nos, ó Filho de Deus …*
Δόξα Πατρί, και Υιώ, και Αγίω Πνεύματι. Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν.	*Glória ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos. Amém.*
Ο Μονογενής Υιός και Λόγος του Θεού, αθάνατος υπάρχων και καταδεξάμενος δια την ημετέραν σωτηρίαν σαρκοθήναι εκ της αγίας Θεοτόκου και αειπαρθένου Μαρίας, ατρέπτως ενανθρωπήσας, σταυρωθείς τε, Χριστέ ο Θεός, θανάτω θάνατον πατήσας, εις ων της Αγίας Τριάδος, συνδοξαζόμενος τω Πατρί και τω Αγίω Πνεύματι, σώσον ημάς.	*Ó Filho unigênito e Verbo de Deus, *que sendo imortal, *e que para nossa salvação, *permanecendo Deus te fizeste homem, *nascendo da santa Theotokos *e sempre virgem Maria, *e foste crucificado, ó Cristo, nosso Deus, *e pela morte venceste a morte. *Tu, que és um *da Santíssima Trindade, *glorificado com o Pai e o Espírito Santo, *salva-nos!*

Terceira Antífona

(Modo Plagal 4º)

Στίχ. α'. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.	*Vers. 1: Teu rosto implorarão os nobres do povo.*

Apolitíkion da Festa da Apresentação

(Modo 4º)

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.	*Hoje é o prelúdio da benevolência de Deus e a proclamação preliminar da salvação dos homens. A Virgem apresenta-se com esplendor no Templo de Deus e antecipadamente anuncia Cristo a todos. A ela nós também clamamos em alta voz: «Alegra-te! ó realização da economia do Criador!»*

E segue alternando com os versículos seguintes:

Στίχ. α'. Ὡδε κατοικήσω, ὅτι ἠρετισάμηναὐτήν.	*Vers. 2: Toda esplêndida entra a filha do rei, com vestidos bordados de ouro.*
Στίχ. β'. Ἀπενεχθήσονται ἐν εὐφροσύνηκαὶ ἀγαλλιάσει ἀχθήσονται εἰς ναὸνβασιλέως.	*Vers. 3: Com séquito de virgens é conduzida ante o rei.*
Δόξα Πατρί, και Υιώ, και Αγίω Πνεύματι. Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν.	*Glória ao Pai e ao Filho e ao Espírito Santo, agora e sempre e pelos séculos dos séculos. Amém.*

Hino de Entrada (Isodikón)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς ...

... ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Vinde, adoremos e prostremo-nos diante de Cristo. * Salva-nos, ó Filho de Deus, Tu que és admirável entre os santos ...*

... a Ti cantamos: Aleluia.

Hinos após a pequena entrada

Apolitíkion da Festa da Apresentação

(Modo 4º)

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Hoje é o prelúdio da benevolência de Deus e a proclamação preliminar da salvação dos homens. A Virgem apresenta-se com esplendor no Templo de Deus e antecipadamente anuncia Cristo a todos. A ela nós também clamamos em alta voz: «Alegra-te! ó realização da economia do Criador!»

Apolitíkion de Santa Catarina

(Modo Plagal 1º)

Τὴν πανεύφημον νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερῖναν τὴν θείαν καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν, ὅτι ἐφίμωσε λαμπρῶς, τοὺς κομψοὺς τῶν ἀσεβῶν, τοῦ Πνεύματος τῇ μαχαίρᾳ, καὶ νῦν ὡς Μάρτυς στεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

*Cantemos à mais ilustre noiva de Cristo, * a divina Catarina, protetora do Sinai, * aquela que por nós é abrigo e socorro; * pois, com efeito, pela espada do Espírito * fez calar brilhantemente os sofismas dos ímpios, *e agora, mártir coroada, *implora por nós a grande misericórdia.*

O Apolitíkion da Igreja Paroquial é cantado e, em seguida:

Kondákion da Festa

(Modo 4º)

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

O puríssimo templo do Salvador, a câmara nupcial preciosíssima e Virgem, o sagrado tesouro da glória de Deus, hoje é introduzida na casa do Senhor, trazendo consigo a graça divina do Espírito; graça que os Anjos de Deus celebram em cântico. Ela é, em verdade, o tabernáculo celestial.

Prokímenon

(Modo 4º)

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Deus é Admirável em seus santos, o Deus de Israel.
Vers. 1: Bendizei ao Senhor nas vossas assembleias, bendizei ao Senhor filhos de Israel!

Epístola (Apóstolos

[Gálatas 3: 23-4: 5]

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Leitura da Epístola do Apóstolo São Paulo aos GÁLATAS.

Irmãos, [23]antes que chegasse a fé, nós éramos guardados sob a tutela da Lei para a fé que haveria de se revelar. [24]Assim a Lei se tornou nosso pedagogo até Cristo, para que fôssemos justificados pela fé. [25]Chegada, porém, a fé, não estamos mais sob pedagogo; [26]vós todos sois filhos de Deus pela fé em Cristo Jesus, [27]pois todos vós, que fostes batizados em Cristo, vos vestistes de Cristo. [28]Não há judeu nem grego, não há escravo nem livre, não há homem nem mulher; pois todos vós sois um só em Cristo Jesus. [29]E se vós sois de Cristo, então sois descendência de Abraão, herdeiros segundo a promessa. [4] [1]Ora, eu digo: enquanto o herdeiro é menor, embora dono de tudo, em nada difere de um escravo. [2]Ele fica debaixo de tutores e curadores até a data estabelecida pelo pai. [3]Assim também nós, quando éramos menores, estávamos reduzidos à condição de escravos, debaixo dos elementos do mundo. [4]Quando, porém, chegou a plenitude do tempo, enviou Deus o seu Filho, nascido de uma mulher, nascido sob a Lei, [5]para remir os que estavam sob a Lei, a fim de que recebêssemos a adoção filial.

Aleluia

(Modo 4º)

Ἀλληλούϊα! (γ')

Στίχ. α΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Ἀλληλούϊα! (γ')

Στίχ. β'. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά Μου.

Ἀλληλούϊα! (γ')

Aleluia! (3x)

Vers. 1: Esperei ansiosamente pelo Senhor, Ele se inclinou para mim e ouviu o meu pedido.

Aleluia! (3x)

Vers. 2: Pôs em minha boca um cântico novo, um louvor ao nosso Deus.

Aleluia! (3x)

Evangelho

(Marcos 5: 24-34)

Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν

Leitura do Evangelho segundo o santo Evangelista MARCOS.

Naquele tempo, uma numerosa multidão seguia Jesus, apertando-O de todos os lados. [25]Ora, certa mulher que havia doze anos tinha um fluxo de sangue [26]e que muito sofrera nas mãos de vários médicos, tendo gasto tudo o que possuía sem nenhum resultado, mas cada vez piorando mais, [27]tinha ouvido falar de Jesus. Aproximou-se dEle, por detrás, no meio da multidão, e tocou-lhe a roupa. [28]Porque dizia: «Se ao menos tocar as suas roupas, serei salva». [29]E logo estancou a hemorragia. E ela sentiu no corpo que estava curada de sua enfermidade. [30]Imediatamente, Jesus, tendo consciência da força que dEle saíra, voltou-se a multidão e disse: «Quem tocou minhas roupas?» [31]Os discípulos disseram-lhe: «Estás vendo a multidão que te comprime e perguntas: 'Quem me tocou?'» [32]Jesus olhava em torno de si para ver quem havia feito aquilo. [33]Então a mulher, amedrontada e trêmula, sabendo o que lhe tinha sucedido, foi e caiu-lhe aos pés e contou-lhe toda a

αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

verdade. [34]E Ele disse a ela: «Minha filha, a tua fé te salvou; vai em paz e esteja curada desse teu mal».

Hirmós

(Modo 4º)

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων· χεῖλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα ἐν ἀγαλλιάσει βοάτω· Ὄντως ἀνωτέρα πάντων ὑπάρχεις, Παρθένε Ἁγνή.

Os Anjos, vendo a Entrada da Virgem, ficavam perplexos: como pôde ela entrar com tanta glória no Santo dos Santos.

Como à Arca viva de Deus, que mão de não-iniciados jamais se atreva a tocá-La; ao contrário, que os lábios dos fiéis cantem incessantemente à Theotokos o brado do Anjo, e, exultantes, clamem: Verdadeiramente és superior a todos, ó Virgem puríssima.

Kinonikón (Sl 116:13)

(Modos 1º ou 4º)

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

Tomarei o cálice da salvação e invocarei o nome do Senhor. Aleluia!

Apólise (Despedida)

Ὁ ἀναστὰς ἐκ νεκρῶν) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ...

O Ressuscitado dentre os mortos, Cristo, nosso verdadeiro Deus ...

REFERÊNCIAS BIBLIOGRAFICAS:

- *Suplemento Litúrgico da Sacra Arquidiocese de Buenos Aires e América do Sul*
- *Daily Services - Suporte Digital de Canto da Arquidiocese Ortodoxa da América*
- *Bíblia de Jerusalém (Nona Edição Revista e Ampliada). São Paulo: Paulus, 2013.*